ἔστιν αὐτοῖς ἀντειπεῖν. [9]ἐκλήθησαν δὲ οἱ γραμματεῖς ἐν τῷ πρώτῳ 9
μηνί, ὅς ἐστι Νισα, τρίτῃ καὶ εἰκάδι τοῦ αὐτοῦ ἔτους, καὶ ἐγράφη
τοῖς Ιουδαίοις ὅσα ἐνετείλατο τοῖς οἰκονόμοις καὶ τοῖς ἄρχουσιν
τῶν σατραπῶν ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας, ἑκατὸν εἴκοσι
ἑπτὰ σατραπείαις κατὰ χώραν καὶ χώραν, κατὰ τὴν ἑαυτῶν λέξιν.
[10]ἐγράφη δὲ διὰ τοῦ βασιλέως καὶ ἐσφραγίσθη τῷ δακτυλίῳ αὐτοῦ, 10
καὶ ἐξαπέστειλαν τὰ γράμματα διὰ βιβλιαφόρων, [11]ὡς ἐπέταξεν αὐ- 11
τοῖς χρῆσθαι τοῖς νόμοις αὐτῶν ἐν πάσῃ πόλει βοηθῆσαί τε αὐτοῖς
καὶ χρῆσθαι τοῖς ἀντιδίκοις αὐτῶν καὶ τοῖς ἀντικειμένοις αὐτῶν ὡς
βούλονται, [12]ἐν ἡμέρᾳ μιᾷ ἐν πάσῃ τῇ βασιλείᾳ Ἀρταξέρξου, τῇ 12
τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνός, ὅς ἐστιν Αδαρ.
[12a]Ὧν ἐστιν ἀντίγραφον τῆς ἐπιστολῆς τὰ ὑπογεγραμμένα [12b]Βα- 12a 12b
σιλεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας
ἑκατὸν εἴκοσι ἑπτὰ σατραπείαις χωρῶν ἄρχουσι καὶ τοῖς τὰ ἡμέ-
τερα φρονοῦσι χαίρειν. [12c]πολλοὶ τῇ πλείστῃ τῶν εὐεργετούντων 12c
χρηστότητι πυκνότερον τιμώμενοι μεῖζον ἐφρόνησαν καὶ οὐ μόνον
τοὺς ὑποτεταγμένους ἡμῖν ζητοῦσι κακοποιεῖν, τόν τε κόρον οὐ
δυνάμενοι φέρειν καὶ τοῖς ἑαυτῶν εὐεργέταις ἐπιχειροῦσι μηχανᾶ-
σθαι· [12d]καὶ τὴν εὐχαριστίαν οὐ μόνον ἐκ τῶν ἀνθρώπων ἀνταν- 12d
αιροῦντες, ἀλλὰ καὶ τοῖς τῶν ἀπειραγάθων κόμποις ἐπαρθέντες τοῦ
τὰ πάντα κατοπτεύοντος ἀεὶ θεοῦ μισοπόνηρον ὑπολαμβάνουσιν
ἐκφεύξεσθαι δίκην. [12e]πολλάκις δὲ καὶ πολλοὺς τῶν ἐπ᾿ ἐξουσίαις 12e
τεταγμένων τῶν πιστευθέντων χειρίζειν φίλων τὰ πράγματα παρα-
μυθία μεταιτίους αἱμάτων ἀθῴων καταστήσασα περιέβαλε συμφο-
ραῖς ἀνηκέστοις [12f]τῷ τῆς κακοηθείας ψευδεῖ παραλογισμῷ 12f

9 γραμματεις] + του βασιλεως εν τω καιρω εκεινω O† | πρωτω — νισα] τριτω μηνι (58 93 μηνι τω τριτω) ο(ς) εστι(ν) σιουαν O† | αυτου] δευτερου S† | ετους] μηνος A | ενετειλ.] + μαρδοχαιος προς (τους) ιουδαιους $O^{-93}$† | σατραπων] + οι ησαν $O^{-58}$† | εκατον — σατραπειας / κατα χ. και χ.] tr. S† | επτα] pr. και A†: item A in 12b || 10 εγραφη δε] και εγρ. A | βασιλεως] + αρταξερξου O† | εξαπεστειλαν] -λε(ν) AO† | βιβλιαφορων BS*AV* 93†] -βλιοφ- rel.: cf. 3 13 || 11 χρησθαι bis] χρησασθαι $1^0$ $AS^c$, $2^0$ $S^c$ | παση] τη A†, + τη B† | τε > A | τοις $2^0$ ⌒ $3^0$ A† | αυτων paenult. > S 58 93† | fin.] + πασαν δυναμιν λαου και χωρας τους θλιβοντας αυτους νηπια και γυναικας και τα σκυλα αυτων εις προνομην $S^c$†: sim. 58 93†, sed ante πασαν δυναμιν addunt αφανιζειν και φονευειν και απολλυειν(sic Field, mss. απολαυειν) συν(uel συμ; ex Aquila, cf. 4 7 6 10) || 12 δωδεκατου > SA 93† | ος εστιν αδαρ > S†, ος εστιν > pau. || 12a ων et της > S(†) || 12b χωρων] pr. ιδιων S† | αρξουσι S† | και] + σατραπαις $AO^{-58}$† || 12c μειζον] αμινον S† | και $1^0$ > S† | ημιν] υμ. S† | ζητουσι(ν)] αιτ. S† || 12d και $1^0$] + κατα SA 58†, pr. κακα 93† | ανταναιρ.] αντ > $O^{-93}$† | υπολαμβ.] διαλ. AO† | δικην > S† || 12e μεταιτιους αιματων 93†] μετενους αιμ. S†: N ex TI; μεταγνουσα μετα των A†: ΓΝ ex ITI; μετοχους αιμ. rel. | καταστησας(sic) περιεβαλε SA 58†, -στησαντες -βαλον 93† || 12f κακοηθειας] αληθειας A†, + τροπω O† | παραλογισμω > A† (hab. των pro τω praec.)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1019 UNIVERSITÄT LEIPZIG